www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Παχώμιον τὸν μέγαν

Ἦχος πλ.β'

Ἅγιον Ὅρος

2018

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Παχώμιον τὸν μέγαν οὗ ἡ ἀκροστιχίς, «Παχώμιον τὸν μέγαν ὑμνολογῶ», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.β'.

*ᾨδὴ Α' Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Πατὴρ πατέρων Παχώμιε τῷ φωτί, τὸν ἐσκοτισμένον μου, νοῦν καταύγασον τῶν σῶν, θεοδέκτων Ὅσιε εὐχῶν, ὅπως ἄσωμαι ᾠδήν σοι παναρμόνιον.

Ἀποβαλῶν τῶν φυσάντων σε νουνεχῶς, ὅσιε δυσσέβειαν, προσηρμόσθης τῷ Χριστῷ, καὶ Υἱὸς γενόμενος φωτός, τοῦ φωτὸς τον χορηγὸν ἰδεῖν ἐπόθησας.

Χαρᾶς ἐπλήσθη Παχώμιε διὰ σοῦ, Πάτερ ἡ πρὶν ἄγονος, χώρα ἔρημος πληθύν, τῶν Θεὸν ὁρώντων δαψιλῶς, θρεψαμένη ἀγελάρχα θεοδόξαστε.

*Θεοτοκίον.*

Ἰλυσπωμένῳ Παρθένε ταῖς τῶν παθῶν, παναισχίστοις πράξεσι, τὸν πανάθλιον δεινῶς, πρὸς σὲ καταφεύγοντα Ἁγνή, ἀποκάθαρον εὐσπλήγχνως τῷ ἐλέει σου.

*ᾨδὴ Γ' Οὐκ ἔστιν ἅγιος.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡς ἄλλος Πάτερ Μωϋσῆς, καθηγήτωρ ἐδείχθης, πρὸς τὴν γῆν διϊθύνων, τῆς ζωῆς τὸν τοῦ Θεοῦ, λαὸν τῶν σῶν διδαχῶν, ποιμενάρχα τῷ φωτὶ Παχώμιε.

Μεθέξει Πνεύματος πληθύν, δαιμονώντων ἰάσω, καὶ σωμάτων τὰς νόσους, καὶ ψυχῶν θεραπευτής, ὡράθης λόγων Θεοῦ, ὡς ἐπέχων, Πάτερ τρισμακάριστε.

Ἱδρῶσιν Ὅσιε ἀεί, τῆς ἀσκήσεως Πάτερ, καὶ νηστείαις σχολάζων, καὶ δακρύων ταῖς ῥοαῖς, τῶν θεουργῶν ἀρετῶν, καθωράθης οἶκος ἀξιάγαστε.

*Θεοτοκίον.*

Λιμῷ ἐκτήκομαι δεινῶν, τῆς ζωῆς ἐκ τοῦ ἄρτου, μὴ τρεφόμενος οἴμοι, βιωτεύων ἐμπαθῶς, σὺ φιλευσπλάγχνως Ἁγνή, μετασχεῖν με τούτου καταξίωσον.

*Ὠιδὴ Δ΄ Χριστός μου δύναμις.*

Ὁδὸν Παχώμιε, μακαριώτατε, τὴν στενὴν διοδεύσας τοῦ ζοφεροῦ, Πάτερ κοσμοκράτορος, τὰς ἐνεργείας τῷ φωτί, τῶν χαρίτων σου διέλυσας.

Ναὸν τοῦ Πνεύματος, τὴν ταπεινόφρονα, τοῦ Ἁγίου ψυχήν σου καὶ καθαράν, ἀπειργάσω ὅσιε, ἀναδειχθεὶς ὡς ἀληθῶς, τῶν ἀγγέλων ἰσοστάσιος.

Τροφῇ ἐξέθρεψας, Πάτερ τὴν ποίμνην σου, τῇ ἀφθάρτῳ Παχώμιε ταῖς ῥοαῖς, τῶν πανσόφων λόγων σου, καὶ τῷ Σωτῆρι καὶ Θεῷ, διεπόρθμευσας ἀοίδιμε.

*Θεοτοκίον.*

Ἀναμιμνήσκειν με, Παρθένε δώρησαι, τοῦ θανάτου τὴν ὥραν τὴν φοβεράν, ὅπως διαφεύξωμαι, τοῦ αἰωνίζοντος πυρός, τῆς κολάσεως ὁ δύστηνος.

*ᾨδὴ Ε΄ Τῷ θείῳ φέγγει σου.*

Ὁσίων δήμους Πάτερ Χριστῷ, τῷ Θεῷ προσέφερες σοφέ, ὡς πανευώδη Παχώμιε, προσφορὰν ἱδρώτων τῶν σῶν, καὶ πόνων σεπτά, καὶ θεῖα θεοφόρε καλλιερήματα.

Νεκρώσας Πάτερ τὸ γεηρόν, φρόνημα θεόφρον τῆς σαρκός, ὤφθης ἀγγέλων ἐφάμιλλος, θείας ἀναβάσεις ἀεί, καρδίᾳ τῇ σῇ τιθέμενος Παχώμιε ὁσιώτατε.

Μοναῖς ταῖς ἄνω τῶν ἐκλεκτῶν, Πάτερ αὐλιζόμενος ἀεί, τέκνων τῶν σῶν, ἡμῶν μέμνησο, τὸν Χριστὸν δεινῶν πειρασμῶν, τὴν λύσιν εὑρεῖν, μὴ παύσῃ ἱκετεύων τὸν ὑπεράγαθον.

*Θεοτοκίον.*

Ῥερυπωμένον με ἀγαθή, ὄντα ἐναγέσιν ἡδοναῖς, καὶ παναισχίστοις τὸν ἄθλιον, κάθαρον Παρθένε Ἁγνή, θανάτου ἡ νύξ, τὸν δείλαιον ἐξαίφνης πρὶν καταλάβῃ με.

*Ὠιδὴ ΣΤ΄ Τοῦ βίου τὴν θάλασσαν.*

Ἐν ὕλῃ μακάριε, τῶν ἀΰλων μιμητά, ἀγγέλων ἀναδέδειξαι, καὶ συνόμιλος τούτων ὡς γεγονώς, ἐδέξω Παχώμιε, μοναζόντων ἐκ τούτων διατύπωσιν.

Γερῶν ὁ Δεσπότης σε, οὐρανίων ἐν τῇ γῇ, ἠξίωσε τρισόλβιε, τῶν σωμάτων ἐξαίρειν καὶ τῶν ψυχῶν, τὰς νόσους Παχώμιε, ποιμενάρχα ὁσίων ἀκροθίνιον.

Ἁγίων πανόλβιε, θαυμαστῶν καθηγεμών, τοῦ Θεοδώρου ὅσιε, Ὀρσισίου ἐγένου καὶ Σιλβανοῦ, ἐκλάμψας ὡς ἥλιος, ἐν τῷ κόσμῳ, πυρσεύμασι τῶν ἔργων σου.

*Θεοτοκίον.*

Ἱκέτης Πανάχραντε, σοὶ προσφεύγω ἐκβοῶν, πρὶν τοῦ θανάτου ὥρα με, συγκαλύψει ἰσχύει τῇ παναλκεῖ, τῇ σῇ δυνάμωσον, μετανοίας μνησθῆναι τὸν ταλαίπωρον.

*Ὠιδὴ Ζ΄ Δροσοβόλον μὲν τὴν κάμινον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νοητῶν ἐχθρῶν Παχώμιε τὴν δύναμιν, τέλεον τῇ οἰκούσῃ ἐν σοί, ἐξενεύρισας τοῦ Ἁγίου Πνεύματος σοφέ, δυνάμει καὶ πᾶσαν μηχανήν, ἄπρακτον τούτων, θεοφόρε ἐναπέδειξας.

Ὑψιπέτης ἀετὸς ὥσπερ ἐπέτασας, ὅσιε τῶν γηΐνων ἐκστάς, καὶ Χριστὸν καθορῶν τρισμάκαρ, τοῦ τῶν μοναστῶν, χοροῦ καθωράθης ὁδηγός, καὶ παιδοτρίβης ἀπλανὴς θεομακάριστε.

Μιμητὴς τοῦ ἐλεήμονος μακάριε, γέγονας τοῦ τῶν πάντων Θεοῦ, τὸν σὸν πλοῦτον διασκορπίσας, Πάτερ ἱλαρῶς, πενήτων Παχώμιε χερσί, τῶν ἀκηράτων ἀγαθῶν ὅθεν ἠξίωσαι.

*Θεοτοκίον.*

Ὡς πολλὴ ἡ εὐσπλαγχνία σου ὑπάρχουσα, Πάναγνε τῶν ἐν πίστει πρὸς σέ, ἐν ἀνάγκαις καταφευγόντων, καὶ ἐν συμφοραῖς, κἀμοὶ Θεοτόκε ἀγαθή, ῥανίδα δεῖξον εὐσπλαγχνίας τῷ ἀγνώμονι.

*Ὠιδὴ Η΄ Ἐκ φλογὸς τοῖς ὁσίοις.*

Νυσταγμὸν σοῖς βλεφάροις Πάτερ οὐκ ἔδωκας, τῆς σαρκὸς ἕως ἅπαν ὕψωμα ὅσιε, τὸ φθοροποιὸν τῆς ψυχῆς ἐταπείνωσας, πρὸς τῆς ἀπαθείας, διὸ εἰς ὕψος ἤρθης.

Οἱ χοροί σε πατέρων Πάτερ θειότατε, μοναζόντων Παχώμιε μακαρίζουσι, τῆς θεοποιοῦ πολιτείας ἰσάγγελε, ὄντως καθωράθης, ἀκριβεστάτη στάθμη.

Λύτην νόσων σε πάντες ἐπιγινώσκομεν, τῶν ψυχῶν καὶ σωμάτων μάκαρ Παχώμιε, ταῖς πρὸς τὸν Χριστόν, θεοδέκτοις πρεσβείαις σου, λῦσον νῦν κατ’ ἄμφω, ἡμῶν τὰς νόσους Πάτερ.

*Θεοτοκίον.*

Νόσῳ Κόρη ὁ τάλας κατατρυχώμενος, χαλεπῇ καὶ εἰς ἔννοιαν ἀπογνώσεως, ῥέπων ὁ δεινός, καὶ στενῶς πιεζόμενος, πρὸς τὴν εὐσπλαγχνίαν, τὴν θείαν σου προσφεύγω.

*Ὠιδὴ Θ΄ Θεὸν ἀνθρώποις.*

Ὁδὸν διήνυσας Πάτερ ὅσιε, τὴν τεθλιμμένην πόνοις καὶ ἀγῶσι Παχώμιε, τοῖς ἀσκητικοῖς προσπαλαίων κατέφθασας, ἔνθα εὐφραινομένων ἡ κατασκήνωσις, καὶ Θεὸν ὑμνούντων, ἐν φωνῇ ἀγαλλιάσεως.

Γερῶν ἀφθάρτων ἀειμακάριστε, ἐν οὐρανοῖς τυχὼν παρὰ Χριστοῦ τοῦ Παντάνακτος, οὗ νῦν παριστάμενος τῷ θρόνῳ ἀεί, τοῦτον μὴ διαλείπης, Πάτερ Παχώμιε, ὑπὲρ τῶν θερμῶς σε γεραιρόντων ἀξιΰμνητε.

Ὡς ὄντως Πάτερ θεράπων γνήσιος, τοῦ δι’ ἡμᾶς σαρκὶ προσομιλήσαντος ἅγιε, Χριστοῦ

τοῦ Θεοῦ, δυσωπῶν τοῦτον ὅσιε, Παχώμιε μὴ παύσῃ, τῶν περιστάσεων, καὶ τῶν πειρασμῶν ἐκλυτρωθῆναι τοὺς ὑμνοῦντάς σε.

*Θεοτοκίον.*

Μελλούσης Δέσποινα κατακρίσεως, τοὺς ἐνοικοῦντας πόθῳ, τουτονὶ τὸν περίβολον, τὸν σὸν καὶ ἐν πίστει σε ὑμνοῦντας ἀεί, καὶ ὡς Θεοῦ Μητέρα σὲ μεγαλύνοντας, ὡς ὑπέσχου λύτρωσαι, εὐσπλάγχνως Πανύμνητε.

*Προσόμοια.*

*Ὅλην ἀποθέμενοι. Ἦχος πλ.β΄.*

Δυσσέβειαν ὅσιε, προγονικὴν ἀπεκδύσω, καὶ Χριστὸν τὸν Κύριον, ἐνεδύσω πάνσοφε, ἀγαλλόμενος, καὶ δι᾽ ὃν ἅπασαν, τῶν ματαίων θέαν, τὴν ὀνείρων δίκην φεύγουσαν, ἀπαρνησάμενος, τούτῳ θερμοτάτῳ προσέδραμες, τῷ ἔρωτι Παχώμιε, καὶ τὸν ἐλαφρὸν ἐπαυχένιον, ζυγὸν ἦρας τούτου, ὡς ἄλλος ἑωσφόρος ἐφαπλῶν, τὰς λαμπηδόνας τῶν ἔργων σου, κόσμου εἰς τὰ πέρατα.

Τέλεον Πανόσιε, τῶν ἐπικήρων διέστης, ἐν σαρκὶ τὸν ἄσαρκον, καταπαλαισάμενος Πάτερ δράκοντα, προσευχῇ ἅμα τε, καὶ τῇ ἐγκρατείᾳ, καὶ ῥοῇ τῶν ἀεννάων σου, θεῖε Παχώμιε, καὶ θερμῶν τρισμάκαρ δακρύων, εἰς τέλος ἐξενεύρισας, καὶ καθηγεμὼν καὶ

διδάσκαλος, θεόθεν ἐδείχθης, ὡς ἄλλος Μωϋσῆς καθοδηγῶν, πρὸς γῆν λαὸν τοῦ Κυρίου σου, τῆς ζωῆς πανόλβιε.

Στάθμη ἀναδέδειξαι, τῶν μοναζόντων θεόφρον, ἀκριβὴς Παχώμιε, καὶ ἐν ἔργοις ἔλαμψας, καὶ ἐν θαύμασι, καὶ λιπὼν ἅγιε, τουτωνὶ τοῖς ἄνω, προσεχώρησας καὶ κρείττοσι, εἰς τὰ σκηνώματα, τὰ ἀγαπητὰ μελῶδημα, καὶ ἦχος ἔνθα ἤκουσται, τῶν ἑορταζόντων μακάριε, καὶ νῦν τῶν ὑμνούντων, καὶ πόθῳ σου τὴν μνήμην τὴν φαιδράν, ἡμῶν τιμώντων θεσπέσιε, μέμνησο δεόμεθα.

Πάσης Παναμώμητε, καθυπερτέρα ὡράθης, κτιστῆς Κόρη φύσεως, ὡς τὸν ἀπερίληπτον καὶ ἀχώρητον, ἐν γαστρὶ ἄνευθεν, σπορᾶς συλλαβοῦσα, ἀλλ' ἐκ τῆς ἐπισκιάσεως, Ἁγίου Πνεύματος, καὶ ἀφθόρως τοῦτον ἐκύησας, Παρθένος τε διέμεινας, καὶ μετὰ τὸν τόκον πανάφθορος, ὅνπερ ἐκδυσώπει, πταισμάτων ἱλασμὸν ἡμᾶς εὑρεῖν, καὶ λυτρωθῆναι τοῦ μέλλοντος, πυρὸς τῆς κολάσεως.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ